Et quod simul memoratur, præternauigare Planctas, vt appellant, insulas, nisi isthinc soluisset, non potuisse. cæterùm in Æthalia ad mare Tyrrhenum, cùm alia monumenta principium illius expeditionis virorum, tum id quod de calculis memorant, monstratur. Nam ad litus calculos inueniri perhibent coloris varij, tum scilicet ex destillationibus liquorum, quibus vngebantur, coloratos. Tales enim nec ante, nec post ea tempora inuentos. Sedenim & alia sunt non obscura indicia, non fuisse transitum illis per Symplegadas: testante scilicet id Poëta. Nam, cùm periculi magnitudinem exprimere contenderet, declarat hæc loca nauigationi minimè peruia extitisse:

*Quoniam simul tabulásque nauium & corpora virorum*
*Maris vndæ rapiunt, & ignis perniciosi procellæ.*

Circa igitur Cyaneas non videtur ignis emitti, sed iuxta fretum, quo Sicilia ab Italia distinguitur, ab vtraque parte euaporatio, tum quòd insula continuè ipsa flagrat, tum quòd flammæ Ætnæ sæpe totam regionem permeant. In Tarento solent interdum parentari Atridis, Æacidis, Tydidísque, & Laertiadis, Agamemnoniadis autem, seorsimque die constituta alia sacrificia agere, quibus mulieribus immolata tangere lege interdicitur. Est & templum apud ipsos Achillis. Ferunt hunc locum olim Ionibus obtinentibus Plion vocatum esse. Verùm postquàm à Tarentinis inhabitari cœptum est, Heracliam. Cæterùm iam inde remotius à primis incolis Sigium appellatum. Apud Sybaritas aiunt Philoctetem coli, qui ex Troia profugus inhabitauit, quæ vocantur mollia Crotoniadis distantia à Troia, vt ferunt, centum viginti stadiis, ac Herculis arcus in Apollinis Halij templo consecrauit, quos per vim à Crotoniatis in Apollonium translatos ferunt. Aiunt iis in locis mortuum esse auxilia ferentem Rhodiis, qui cum Tlepolemo ad ea loca delati, contra incolas depugnarant.

Circa Italiam, quam Calabriam vocant,

A ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. καὶ ἐν τῇ Αἰθαλείᾳ δὲ νήσῳ τῇ κειμένῃ ἐπὶ τοῦ Τυρρηνικοῦ πελάγους, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριστέων, καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον. παρὰ γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας. ταύτας δὲ οἱ Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες, λέγουσι τὴν χροιὰν B λαβεῖν ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι. ἀπὸ γὰρ ἐκείνων τῶν χρόνων, οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψήφους, οὔθ' ὕστερον ἐπιγεγενημένας. ἔτι δὲ τούτων φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἐγένετο ὁ ἔκπλους αὐτοῖς, τῷ ποιητῇ οἱ ἐν ἐκείνοις τοῖς τόποις μάρτυρι χρώμενοι. τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφανίζοντα, λέγειν ὅτι οὐκ ἔστι παρα- C πλεῦσαι τὸν τόπον. Ἀλλά θ' ὁμοῦ

πίνακάς τε νεῶν καὶ σώματα φωτῶν.
Κύμαθ' ἁλὸς φορέουσι, πυρός τ' ὀλοοῖο θύελλαι.

περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀναπέμπειν· περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν ἐφ' ἑκάτερα κειμένων τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσου συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴ- D τνην ῥεύματος πολλάκις τὴν χώραν ἐπιδεδραμηκότος. Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνοις φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις· καὶ Ἀγαμεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ· ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ, μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. ἔστι δὲ καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. λέγε- E ται δὲ, μετὰ τὸ παραλαβεῖν τοὺς Ταραντίνους, Ἡράκλειαν τὸν τόπον καλεῖσθαι ὃν νῦν κατοικοῦσιν· ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων, Πλεῖον· ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν πρῶτον κατασχόντων αὐτὴν, Σίγειον ὀνομάζεσθαι. Παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι. κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλούμενα μαλακὰ τῆς Κροτωνιάδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα τὰ Ἡράκλεια αὐτὸν εἰς τὸ τοῦ Ἀπόλλωνος τοῦ ἁλίου. ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς. λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι, καὶ μάχην συνάψασι πρὸς τοὺς ἐνοικοῦντας [ τῶν βαρβάρων ] ἐκείνην τὴν χώραν. Περὶ δὲ τὴν Ἰταλίαν τὴν καλουμένην Καλαβρίαν,

ἐγγὺς